6 ἐπωμίδα. [6]καὶ ἐπιθήσεις τὴν μίτραν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ καὶ
7 ἐπιθήσεις τὸ πέταλον τὸ Ἁγίασμα ἐπὶ τὴν μίτραν. [7]καὶ λήμψῃ τοῦ
ἐλαίου τοῦ χρίσματος καὶ ἐπιχεεῖς αὐτὸ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ
8 καὶ χρίσεις αὐτόν. [8]καὶ τοὺς υἱοὺς αὐτοῦ προσάξεις καὶ ἐνδύσεις
9 αὐτοὺς χιτῶνας [9]καὶ ζώσεις αὐτοὺς ταῖς ζώναις καὶ περιθήσεις
αὐτοῖς τὰς κιδάρεις, καὶ ἔσται αὐτοῖς ἱερατεία ἐμοὶ εἰς τὸν αἰῶνα. καὶ
10 τελειώσεις τὰς χεῖρας Ααρων καὶ τὰς χεῖρας τῶν υἱῶν αὐτοῦ. [10]καὶ
προσάξεις τὸν μόσχον ἐπὶ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου,
καὶ ἐπιθήσουσιν Ααρων καὶ οἱ υἱοὶ αὐτοῦ τὰς χεῖρας αὐτῶν ἐπὶ
τὴν κεφαλὴν τοῦ μόσχου ἔναντι κυρίου παρὰ τὰς θύρας τῆς σκη-
11 νῆς τοῦ μαρτυρίου· [11]καὶ σφάξεις τὸν μόσχον ἔναντι κυρίου πα-
12 ρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου. [12]καὶ λήμψῃ ἀπὸ τοῦ
αἵματος τοῦ μόσχου καὶ θήσεις ἐπὶ τῶν κεράτων τοῦ θυσιαστη-
ρίου τῷ δακτύλῳ σου· τὸ δὲ λοιπὸν πᾶν αἷμα ἐκχεεῖς παρὰ τὴν
13 βάσιν τοῦ θυσιαστηρίου. [13]καὶ λήμψῃ πᾶν τὸ στέαρ τὸ ἐπὶ τῆς
κοιλίας καὶ τὸν λοβὸν τοῦ ἥπατος καὶ τοὺς δύο νεφροὺς καὶ τὸ
14 στέαρ τὸ ἐπʼ αὐτῶν καὶ ἐπιθήσεις ἐπὶ τὸ θυσιαστήριον. [14]τὰ δὲ
κρέα τοῦ μόσχου καὶ τὸ δέρμα καὶ τὴν κόπρον κατακαύσεις πυρὶ
15 ἔξω τῆς παρεμβολῆς· ἁμαρτίας γάρ ἐστιν. [15]καὶ τὸν κριὸν λήμψῃ
τὸν ἕνα, καὶ ἐπιθήσουσιν Ααρων καὶ οἱ υἱοὶ αὐτοῦ τὰς χεῖρας αὐ-
16 τῶν ἐπὶ τὴν κεφαλὴν τοῦ κριοῦ· [16]καὶ σφάξεις αὐτὸν καὶ λαβὼν
17 τὸ αἷμα προσχεεῖς πρὸς τὸ θυσιαστήριον κύκλῳ. [17]καὶ τὸν κριὸν
διχοτομήσεις κατὰ μέλη καὶ πλυνεῖς τὰ ἐνδόσθια καὶ τοὺς πόδας
18 ὕδατι καὶ ἐπιθήσεις ἐπὶ τὰ διχοτομήματα σὺν τῇ κεφαλῇ. [18]καὶ
ἀνοίσεις ὅλον τὸν κριὸν ἐπὶ τὸ θυσιαστήριον ὁλοκαύτωμα κυρίῳ
19 εἰς ὀσμὴν εὐωδίας· θυσίασμα κυρίῳ ἐστίν. [19]καὶ λήμψῃ τὸν κριὸν
τὸν δεύτερον, καὶ ἐπιθήσει Ααρων καὶ οἱ υἱοὶ αὐτοῦ τὰς χεῖρας αὐ-
20 τῶν ἐπὶ τὴν κεφαλὴν τοῦ κριοῦ· [20]καὶ σφάξεις αὐτὸν καὶ λήμψῃ
τοῦ αἵματος αὐτοῦ καὶ ἐπιθήσεις ἐπὶ τὸν λοβὸν τοῦ ὠτὸς Ααρων
τοῦ δεξιοῦ καὶ ἐπὶ τὸ ἄκρον τῆς χειρὸς τῆς δεξιᾶς καὶ ἐπὶ τὸ
ἄκρον τοῦ ποδὸς τοῦ δεξιοῦ καὶ ἐπὶ τοὺς λοβοὺς τῶν ὤτων τῶν
υἱῶν αὐτοῦ τῶν δεξιῶν καὶ ἐπὶ τὰ ἄκρα τῶν χειρῶν αὐτῶν τῶν
21 δεξιῶν καὶ ἐπὶ τὰ ἄκρα τῶν ποδῶν αὐτῶν τῶν δεξιῶν. [21]καὶ λήμ-
ψῃ ἀπὸ τοῦ αἵματος τοῦ ἀπὸ τοῦ θυσιαστηρίου καὶ ἀπὸ τοῦ
ἐλαίου τῆς χρίσεως καὶ ῥανεῖς ἐπὶ Ααρων καὶ ἐπὶ τὴν στολὴν

6 επιθησεις $1^0$] επι > B*† || 9 μοι B† | τας χ. ααρων] ααρων τας χ. αυτου B† || 10 αυτων > B*† || 11 > A | εναντιον B*† || 12 μοσχου] θυσιαστηριου A†: ante hoc uerbum add. $A^c$ μοσχου και θησεις επι των κερατων του, sed omnia, quae A scripserat, $A^c$ retinuit | θησεις] επιθησ. A | παν > A || 16 αυτον] τον κριον A || 17 υδατι > A* | επι > B*† || 18 ολον / τον κριον] tr. A | κυριω bis] pr. τω A | θυμιαμα B*† | εσται B† || 19 λημψη > A† || 20 χειρος της δεξ.] δεξ. χειρ. B† || 21 του $2^0 \frown 3^0$ A | και $4^0 \frown 5^0$ et $9^0 \frown 10^0$ A†